Τῌ Λ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ

† Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀλεξάνδρου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος δ'.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιο.

Τοῦ Ἁγίου Ἀλεξάνδρου.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὸν θεῖον Ἀλέξανδρον, καὶ Ἱεράρχην κλεινόν, τὸν στῦλον τῆς πίστεως, τὸν ἀριστέα Χριστοῦ, ἐνδόξως τιμήσωμεν, ἅπαντες συνελθόντες, ὡς Ἀρείου τὴν λύπην, πρόῤῥιζον ἐκτεμόντα καὶ ῥητόρων ἀθέων, αἱρέσεως ῥήξαντα πλοκάς, μαχαίρᾳ τοῦ Πνεύματος.

Δόξα. (Τό ὡς ἄνω)

Καὶ νῦν... Θεοτοκίον

Τὸ ἀπ΄ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διάσοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι΄ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

Μετὰ τὴν α΄Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον Σου Σωτὴρ.

Ἀλέξανδρε σοφέ, παρεστὼς τῇ Τριάδι, ἱκέτευε εὑρεῖν, ἐν ἡμέρᾳ τῆς δίκης, ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ὡς προστάτην θερμότατον, χάριν, ἔλεος καὶ ἱλασμὸν τῶν πταισμάτων, ὅπως ἅπαντες, δοξάζωμεν ἐκ καρδίας, Θεὸν τὸν φιλάνθρωπον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια, καὶ κραταιὰ προστασία καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β΄Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Κτείνας Ἄρειον, ταῖς προσευχαῖς σου, κέρας ὕψωσας, τῶν Ὀρθοδόξων ἀριστεὺς τῆς εὐσεβείας γενόμενος, καὶ εὐλαβείας στησάμενος τρόπαιον, Ὀρθοδοξίᾳ τὴν πίστιν ἐστήριξας, Πάτερ ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μή με Δέσποινα, τῆς προστασίας, τὸν πανάθλιον ἀποστερήσῃς, τὸν ἐν πολλοῖς περιπεσόντα τοῖς πταίσμασιν· ἀλλ' ὡς τεκοῦσα Θεὸν τὸν φιλάνθρωπον χάσμα, ῥερυπωμένου σαρκὸς ἁμαρτήμασι, Μῆτερ ἄνανδρε, αὐτὸν ἐκτενῶς ἱκέτευε, ἐκνῦψαί με ῥύπου τῶν παραπτώσεων.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ'.
Τὴν Σοφίαν καὶ Λόγον.

Δυσσεβείας μὴ φέρων τὸν ἑδρασμόν, τοῦ ἀνόμου μὴ θέλων τὰς ἐκδοχάς, εἰσέδυς εἰς τὰ ἄδυτα, διαπύροις σου δάκρυσι, τὸν Θεὸν ἱκετεύων, ἐκθρίψαι τὸν Ἄρειον, Ὀρθοδοξίαν συλλοῦντα ἀθέοις διδάγμασιν. Ὅθεν ὁ δικαίων εἰσακούων ἐν τάχει, πρὸς σήν, οὐκ ἀνένευσε μετὰ πίστεως αἴτησιν, Ἱεράρχα Ἀλέξανδρε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. Διὰ τοῦτο βοῶμεν αὐτῇ· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.
Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον.

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου, ἀγαλλιάσει ἀγαλλιάσονται. (δίς)

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου, ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου
Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Στίχος· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν᾽ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β´

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β´

Ἔνδοξε τρισμάκαρ, ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλός, καὶ τοῦ

ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοοῦ ὑπὲρ τῶν προβάτων. Αὐτὸς καὶ νῦν πανεύφημε, Θεοφόρε Ἀλέξανδρε, αἴτησαι πρεσβείαις σου δωρηθῆναι ἡμῖν, τὸ μέγα ἔλεος.

*Σῶσον ὁ Θεός τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ´)

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

## ΚΑΝΟΝΕΣ

## ΟΙ ΚΑΝΟΝΕΣ

### Κανὼν τῆς Θεοτόκου.

### Ὠδὴ α´. Ἦχος δ´ Ὁ Εἱρμός

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀφράστου τοῦ τόκου σου, εἰκὼν ἐγράφη σαφέστατα ἐν θαλάσσῃ, Δέσποινα, ποτὲ ἀβάτῳ τε, μετὰ πάροδον τοῦ Ἰσραὴλ μεινάσῃ, νηδύος σου ὡς ἄφθαρτος μετὰ τὴν κήυσιν.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Βοῶ σοι γηθόμενος, χαῖρε Παρθένε πανάμωμε, ἡ κλίμαξ ἥνπερ ποτέ, σαφῶς ἑώρακεν Ἰακὼβ ἡμῖν, ὡς γέφυραν εἰς πόλιν, φύσιν τῶν ἀνθρώπων μεταβιβάζουσα.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Γεραίρομεν ᾄσμασι, σὲ τὴν λυχνίαν τὴν πάγχρυσον, τὴν ὄντως ἑπτάφωτον, ὡς τοῖς χαρίσμασι, πνεύματος ἑπτά, οὖσαν πεποικιλμένην, ἐν οἷς τοὺς ὑμνοῦντάς σε, φώτισον Δέσποινα.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἤδη δεινότατα, ὑποπεσὼν δεινοῖς πάθεσι, τῇ προστασίᾳ σου προστρέχω Πάναγνε, καὶ ἐκ θλίψεως βοῶ ὁ τάλας, Σύ γε, ἐκ τούτων ἀνάστησον, τῇ μεσιτείᾳ σου.

### Κανὼν τοῦ Προδρόμου,

### Ἦχος δ´.

### Ἀνοίξω τὸ στόμα μου.

*Στίχ.* Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν λύχνον τὸν πάμφωτον, τῆς οἰκουμένης τὸν κήρυκα, τὸν θεῖον Ἀπόστολον, καὶ ὑπηρέτην Χριστοῦ, τίς ἰσχύσειεν, ἀξίως εὐφημῆσαι, τὸν θεομαρτύρητον, Κυρίου Πρόδρομον;

*Στίχ.* Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ θεῖος ταξίαρχος, τῶν ἀσωμάτων Δυνάμεων, πρὸς θεῖον ἀφίκετο, ναὸν Θεοῦ ἱερόν, εὐαγγέλια, κομίζων τῷ πρεσβύτῃ· Κυρίου τὸν Πρόδρομον, τέξῃ πρεσβύτατε.

*Στίχ.* Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νηδὺς ἔνδον ἔχουσα, στεῖρα καὶ γραῦς τὸν πανάριστον, Προφήτην καὶ Πρόδρομον, ἀπὸ κοιλίας μητρός, προσεκύνησε, Χριστόν, ὢ ξένον θαῦμα! γαστρὶ προσφερόμενον, τῆς Θεομήτορος.

*Στίχ.* Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοῦ Ἀρχιστράτηγος· Παρθένε, ἔφη, θεόνυμφε, πρὸς δόμους πορεύθητι, τῆς Ἐλισάβετ σπουδῇ· καὶ γὰρ ἔγκυον, ταύτην εὑροῦσα γνώσῃ, ὅν περ καταγγέλλω σοι, τόκον τὸν ἄῤῥητον.

Κανὼν τοῦ Ἁγίου.
Ἦχος δ'.
Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνοίξωμεν σήμερον τῆς διανοίας τὰ ὄμματα, ἐνθέως καὶ βλέψωμεν θεῖα χαρίσματα δι' ὧν πρόνοια ἐδόξασεν ἡ ἄνω, ἤδη καὶ Ἀλέξανδρον ὡς Μωϋσῆν τὸ πρότερον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βροτὸς ἐπουράνιος, ἐδείχθης Πάτερ καὶ ἄγγελος, ἐν τῇ γῇ θαυμάσιος ὦ ἱερώτατε, ὅθεν ἤγειρας τοὺς φιλεόρτους πάντας, προσάγειν τῇ μνήμῃ σου ὕμνον ἐπάξιον.

Δόξα...

Γεραίρομεν ᾄσμασι, σὲ τὸν σεπτὸν οἱ ἀνάξιοι καὶ πάντες προσπίπτομεν σοῦ ὧν δεόμεθα, ἀπιτάχυνον, πρεσβεύειν τῷ Κυρίῳ, ὑπὲρ τῶν ὑμνούντων σε Πάτερ Ἀλέξανδρε.

Καὶ νῦν... Θεοτοκίον

Οἱ δοῦλοι σου Πάναγνε, οἱ σὲ σεπτῶς μακαρίζοντες, καὶ τῇ προστασίᾳ σου νῦν καταφεύγοντες, σοῦ δεόμεθα, ἐπίσκεψαι ἐν τάχει, τοὺς ὀρθῶς δοξάζοντες τὸν θεῖον τόκον σου.

Ὠδὴ γ'.
Τῆς Θεοτόκου.
Ἦχος δ'. Ὁ Εἱρμὸς

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ Σου, στεφάνων δόξης ἀξίωσον.(Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δεήσεις ἀξίως δεξαμένη, ἡμῶν τὰς καρδίας τῶν πιστῶν, χαρᾶς Παρθένε ἔμπλησον, ἵνα ἐν σωτηρίῳ σου, ὡς ὁ προφῆτις ἐκβοᾷ εὐφρανθησόμεθα πάντοτε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐξέστη Ἁγνὴ Μωϋσῆς ὁ μέγας, ἐν βάτῳ Μυστήριον τὸ σόν, προβλέπων ἐμφανέστατα, καὶ γὰρ οὐ κατεκαίετο, ὥσπερ καὶ σὺ ἐν μήτρᾳ σου, τὸ πῦρ τῆς θεότητος ἔχουσα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ζωῆς πηγὴν φέρουσα Υἱόν σου, χρυσῆ στάμνος μάννα ὥς ποτε, ἵνα ζωώσῃ πρέσβευε, τοὺς νεκρωθέντας πάθεσι, καὶ τοὺς ὑμνοῦντας σε ἡμᾶς σῶσον Ἁγνὴ ὡς γεννήτρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰσθμὸς καὶ λίμνη γενοῦ σὺ Κόρη, πέλαγος τῶν θλίψεων δεινῶς τῶν κλυδωνιζομένων μοι, καὶ σοὶ ἐκ βάθους κραυγάζοντι, τὸν τάραχον κατεύνασον, καὶ εἰς λιμένα σου σῶσόν με.

Κανὼν τοῦ Προδρόμου,
Ἦχος δ'.
Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐκ στείρας τεχθεὶς ὁ Ἰωάννης, τὴν γλῶτταν διέλυσε πατρός· εἰκότως καὶ γὰρ πέφυκε, φωνὴ τοῦ Λόγου εὔηχος· καὶ εὐλογῶν ἐφθέγγετο· Σὺ μόνος Ἅγιος Κύριος.

Στίχ. Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐδὲν τῶν παρόντων ἀγαπήσας, τὴν ἔρημον τρέχων παροικεῖς, ὡς πόλιν θείῳ Πνεύματι, δυναμωθεὶς πανένδοξε· ἀύλως δὲ ἐβίωσας, ὡς Ἠλιοὺ ὁ θεσπέσιος.

Στίχ. Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μὴ φέρων τοῦ βίου τοὺς θορύβους, ὡς ὄρνις ἐμάκρυνας σοφέ, ἐρήμοις αὐλιζόμενος· εὗρές τε ἀναψύχοντα, τὸν σῴζοντά σε Κύριον, ἐκ καταιγίδος καὶ θλίψεως.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀπῆλθε πρὸς οἶκον Ἐλισάβετ, Παρθένος βαστάζουσα γαστρί, Θεὸν Λόγον τὸν ἄναρχον· ἀμφοῖν ἀσπασαμένων δέ, γνοὺς παρευθὺς ὁ Πρόδρομος, ἐκ τῆς γαστρὸς προσεκύνησεν.

Κανὼν τοῦ Ἁγίου.

Ἦχος δ'. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Δοξάζομεν ἅπαντες ἐμφρόνως, σὲ τὸν ἀρχιθύτην τοῦ Χριστοῦ, τὸν ὄντως καταργήσαντα Ἀρείου τὰ σοφίσματα, καὶ σὺν Ἄννῃ βοήσαντα ηὐφράνθην ἐν σωτηρίῳ σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπέστη θεόφρον ἐπαξίως, ἡ χάρις τοῦ τελεταρχικοῦ, καὶ παναγίου Πνεύματος, τῇ ἱερᾷ κορυφῇ, σοῦ τοῦ πιστοῦ θεράποντος, ἥ σε ποιμένα ἀνέδειξε.

Δόξα...

Ζήλῳ πυρπολούμενος τῷ θείῳ ὡς ἄλλος Ἠλίας νοητῶς, κατέσφαξας τὸν βέβηλον καὶ βλάσφημον ζῶντα Ἄρειον ὥσπερ κἀκεῖνος τε ποτέ, τοὺς τῆς αἰσχύνης εἰργάσατο.

Καὶ νῦν... Θεοτοκίον

Ἱλάσθητι Ἄχραντε Παρθένε, τοῖς σοὶ καταφεύγουσιν ἡμῖν, καὶ πρέσβευε τῷ τόκῳ σου, ὑπὲρ τῶν ἀνυμνούντων σε, σὲ γὰρ κεκτήμεθα προστασίαν τε καὶ πρόμαχον.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα.

Ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Τὸν Πρόδρομον Χριστοῦ, Βαπτιστὴν καὶ Προφήτην, τιμήσωμεν πιστοί, καθαρῷ συνειδότι, ὡς ἔνδοξον κήρυκα, μετανοίας διδάσκαλον, καὶ ὡς Μάρτυρα, παναληθῆ τοῦ Σωτῆρος· τὴν γὰρ ἄνοιαν, τὴν τοῦ Ἡρώδου ἐλέγξας, τὴν κάραν ἐκτέμνεται.

Δόξα. Τοῦ Ἁγίου. Ὅμοιον.

Τὴν μνήμην σου σοφέ, τὴν ἁγίαν τελοῦντες, δοξάζομεν πιστῶς, τὴν Ἁγίαν Τριάδα, τὴν σὲ μεγαλύνασαν, ὡς αὐτὴν προδοξάσαντα, ἣν ἱκέτευε, πάσης ἀνάγκης καὶ βλάβης, ἡμᾶς ῥύεσθαι, τοὺς εὐφημοῦντάς σε πόθῳ, Ἀλέξανδρε Ὅσιε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Λυχνία χρυσαυγής, ἀνεδείχθης Παρθένε, τεκοῦσα ὑπὲρ νοῦν, ἐν παχύτητι ὕλης, Πατρὸς τὸ ἀπαύγασμα, τὸν Σωτῆρα καὶ Κύριον· ὅθεν λάμπρυνον, τῇ ἀγλαΐᾳ σου Κόρη, τῆς καρδίας μου, ἀβλυωπούσας τὰς κόρας, παθῶν ἀμαυρότητι.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον τοῦ Ἁγίου.

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῷ ἀηττήτῳ ἀριστεῖ τὰ νικητήρια, ὡς λυτρωθεῖσα δυσσεβῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ ποίμνη σου Ἱεράρχα, καὶ γὰρ Ἄρειον κατέκτεινας μαινόμενον, καὶ φιλόσοφον ἐπέσχες θρασυνόμενον. Ὅθεν κράζω σοι, Χαῖρε πάτερ τρισόλβιε.

Ὁ Οἶκος.

Ἄγγελος ἐξ ἀνθρώπων ἐπὶ γῆς ἀνεδείχθης, ὡς μέγας ἀληθῶς Ἱεράρχης· πάσαις γὰρ ἀρεταῖς αὐγασθείς, ὥσπερ ἄϋλος ἀπέπτης τῶν γεηρῶν πρὸς τὰ οὐράνια καὶ ὑπὲρ φύσιν ἠγώνισαι. Δι' ὃ καὶ παρ' ἡμῶν ἀκούεις·

Χαῖρε, καλὲ Χριστοῦ ποιμενάρχα·

Χαῖρε, σοφὲ πιστῶν Ἱεράρχα.

Χαῖρε, καθαιρέτης δυσσεβῶν ὁ ἀήττητος·

Χαῖρε, οἰκουμένης ὁ φωστὴρ ὁ πολύφωτος.

Χαῖρε, ὅτι ὑπάρχεις Ἐκκλησίας ὁ Κόσμος·

Χαῖρε, ὅτι παρέχεις τοῖς πιστοῖς τὴν Εἰρήνην.

Χαῖρε, ἱερεῦ ὁ στήσας τὸ τρόπαιον·

Χαῖρε, ἀριστεῦ ὁ κτείνας τὸν Ἄρειον.

Χαῖρε, δι' οὗ κραταιοῦται ἡ Πίστις·

Χαῖρε, Τριάδος ὁ μέγας Μύστης.

Χαίροις Πάτερ Τρισόλβιε.

Συναξάριον.

Τῇ Λ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀλεξάνδρου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι.

Ἔστησας Ἀλέξανδρε φλεγμονὰς λόγων.

Λόγους προσευχαῖς ἐμβαλὼν πυριπνόους.

Θεῖον Ἀλέξανδρον μόρος εἷλεν τριακοστῇ.

Ἕτεροι στίχοι.

Σχοίνους διαδράς, Ἀλέξανδρε, σαρκίου,

Σχοίνισμα κλήρου χρηματίζεις Κυρίου.

Τῇ Λ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων Πατριαρχῶν Κωνσταντινουπόλεως, Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου τοῦ νέου.

Στίχοι

Σχοίνους διαδρὰς Ἀλέξανδρε σαρκίου,

Σχοίνισμα κλήρου χρηματίζεις Κυρίου.

Σκυθρωπὰ τὰ πρόσωπα τῆς Ἐκκλησίας,

Στέρησιν οὐ φέροντα τὴν Ἰωάννου.

Δρόμους ὁ Παῦλος ἐκλιπὼν τοὺς τοῦ βίου,
Εὕρηκε παῦλαν τῶν πόνον τῶν τοῦ βίου.
Τριττὺς τῇ Τριάδι τριακοστῇ νῦν πάρα ἔστη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου καὶ θαυματουργοῦ Φαντίνου.

Στίχοι

Καὶ γῆν ὑπελθὼν θαυματουργὸς Φαντῖνος,
Ἄνωθεν ἡμῖν μάννα θαυμάτων βρύει.
Φαντῖνος βιότου ἀνεχάζετο ἐν τριακοστῇ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων δεκαὲξ μαρτύρων τῶν Θηβαίων.

Στίχοι

Ἐρεῖς ἀριθμοῦ τυγχάνειν ἓξ καὶ δέκα
Τμηθέντας ἄνδρας ἀρτιάκις ἀρτίου

Τῇ αὐτῇ ἡμέρᾳ οἱ ἅγιοι ἓξ Μάρτυρες οἱ ἐν Μελιτηνῇ, ἐν τῇ θαλάσσῃ βληθέντες τελειοῦνται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Καταβασίαι τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ

Ὠδὴ α'. Ἦχος πλ. δ'.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. Διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ'.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται, τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στειρευούσῃ δὲ πρῴην, Ἐκκλησία νῦν ἐξήνθησε, ξύλον Σταυροῦ,εἰς κράτος καὶ στερέωμα.

Ὠδὴ δ'.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Ὠδὴ ε'.

Ὢ τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ς'.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς. Ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

Ὠδὴ ζ'.

Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργὸν Πατέρα Θεόν, ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος πλ. δ΄. )

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ΄.

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. Διὸ νῦν ὑψουμένου προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Μεθέορτον τοῦ Προδρόμου.

Ἦχος β΄.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἡρώδης ὁ παράνομος, τοῦ Προδρόμου τὴν θείαν, καὶ ἱερὰν ἀπέτεμε, κεφαλὴν τοὺς ἐλέγχους, μὴ φέρων ταύτης ὁ ἄφρων· ὢ φρικτῆς τόλμης ὄντως! Θρηνείτω οὖν ὁ ἄθλιος, ἄνομον φόνον πράξας· ἡμεῖς δὲ νῦν, τὴν τιμίαν κάραν ὕμνοις τιμῶντες, τὸν Βαπτιστὴν γεραίρομεν, τοῦ Χριστοῦ ἐπαξίως.

Τοῦ Ἁγίου Ἀλεξάνδρου.

Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Τὸν μέγαν ἀρχιποίμενα, Ἀλέξανδρον τὸν πάνσοφον, τὸν καθελόντα Ἀρείου, κακοδοξίαν ἐντόνως, καὶ τοὺς λαοὺς στηρίζοντα, εἰς πίστιν τὴν ὀρθόδοξον, ἀνευφημήσωμεν πάντες, χρεωστικῶς ἐκτελοῦντες τὴν ἱερὰν αὐτοῦ μνήμην.

Θεοτοκίον. Ὅμοιον.

Κυρίως Θεοτόκον σὲ ὁμολογῶ πανάχραντε, Θεὸν γὰρ ἔτεκες ὄντως, Πατρὶ τὸν ὁμοούσιον, καὶ σύνθρονον ὑπάρχοντα, ὡς ὁ σοφὸς ἐκήρυξεν, Ἀλέξανδρος θεοπνεύστως, οὗ ἐκτελοῦντες τὴν μνήμην καὶ σὲ πιστῶς ἀνυμνοῦμεν.

ΑΙΝΟΙ. Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στίχ. Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς τρία Στιχηρὰ Προσόμοια, δευτεροῦντες τὸ πρῶτον.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Τοῦ ἀμπελῶνος ἐργάτης διὰ τῆς πίστεως τῶν ἐντολῶν ἐδείχθης τοῦ Χριστοῦ θεοφόρε, δι᾽ ὃ καὶ Βασιλείας τῆς ἄνω λαβών, μυστικῶς τὸ δηνάριον, ἀδιαλείπτως πρεσβεύεις ὑπὲρ ἡμῶν, τῶν τιμώντων σε σοφὲ Ἀλέξανδρε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τοῦ ἀμπελῶνος ἐργάτης διὰ τῆς πίστεως τῶν ἐντολῶν ἐδείχθης τοῦ Χριστοῦ θεοφόρε, δι᾽ ὃ καὶ Βασιλείας τῆς ἄνω λαβών, μυστικῶς τὸ δηνάριον, ἀδιαλείπτως πρεσβεύεις ὑπὲρ ἡμῶν, τῶν τιμώντων σε σοφὲ Ἀλέξανδρε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἐν τῇ τοῦ Πνεύματος αἴγλῃ καταλαμπόμενος, τὸ ζοφερὸν καθεῖλες καὶ ληρῶδες Ἀρείου, Ἀλέξανδρε τρισμάκαρ, ὅθεν σοφῶς δογματίσας Τριάδα Θεόν, ὑπὸ πιστῶν ἐδοξάσθης καὶ συνετῶν καὶ τὴν ποίμνην σου διέσωσας.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Θείαις θεόφρων ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Θεοῦ δυνάμει, τὰς ἰάσεις παρέχεις, ψυχῶν τε καὶ σωμάτων τοῖς πίστει καὶ νῦν, ἐπιτελοῦσι, τὴν μνήμην σου, Ἀλέξανδρε Πάτερ θαυματουργέ, μὴ ἐλλίπῃς ὑπερεύχεσθαι.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, τῆς εὐσεβείας τὸν δρόμον, κατὰ Παῦλον τελέσας, τῆς δικαιοσύνης τὸν στέφανον, ἐπαξίως ἐκομίσω· οὐ γὰρ ἐνάρκησας μακάριε, ἐν τῷ τῆς ἀρετῆς ἀγῶνι, ἀλλὰ πάντα ἔθου, καὶ ἀσθενείας φύσεως οὐκ ἐφείσω, ὑπὲρ τῆς ἀληθοῦς τοῦ Σωτῆρος δόξης, καὶ τοὺς αὐτὴν σμικρύνοντας, στερρῶς κατηγωνίσω. Ἀλλ᾽ ὦ Ἱεράρχα Ἀλέξανδρε, τῇ ἀνάρχῳ Τριάδι πρέσβευε, σὺν τοῖς σοῖς συλλειτουργοῖς Παύλῳ καὶ Ἰωάννῃ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε καὶ δοξάζομέν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν Πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη. Ἦχος πλ. α΄*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον*

*Τοῦ Ἁγίου Ἀλεξάνδρου.*

*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὸν θεῖον Ἀλέξανδρον, καὶ Ἱεράρχην κλεινόν, τὸν στῦλον τῆς πί-

στεως, τὸν ἀριστέα Χριστοῦ, ἐνδόξως τιμήσωμεν, ἅπαντες συνελθόντες, ὡς Ἀρείου τὴν λύπην, πρόῤῥιζον ἐκτεμόντα καὶ ῥητόρων ἀθέων, αἱρέσεως ῥήξαντα πλοκάς, μαχαίρᾳ τοῦ Πνεύματος.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ

Ἀντίφωνον Α΄

Ἦχος β΄.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος α΄.

Στίχ. α΄. Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τοῦ Ἁγίου Ἀλεξάνδρου.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὸν θεῖον Ἀλέξανδρον, καὶ Ἱεράρχην κλεινόν, τὸν στῦλον τῆς πί-

στεως, τὸν ἀριστέα Χριστοῦ, ἐνδόξως τιμήσωμεν, ἅπαντες συνελθόντες, ὡς Ἀρείου τὴν λύπην, πρόῤῥιζον ἐκτεμόντα καὶ ῥητόρων ἀθέων, αἱρέσεως ῥήξαντα πλοκάς, μαχαίρᾳ τοῦ Πνεύματος.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου, ἀγαλλιάσει ἀγαλλιάσονται

Ἀπολυτίκιον.

Τοῦ Ἁγίου Ἀλεξάνδρου.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὸν θεῖον Ἀλέξανδρον, καὶ Ἱεράρχην κλεινόν, τὸν στῦλον τῆς πίστεως, τὸν ἀριστέα Χριστοῦ, ἐνδόξως τιμήσωμεν, ἅπαντες συνελθόντες, ὡς Ἀρείου τὴν λύπην, πρόῤῥιζον ἐκτεμόντα καὶ ῥητόρων ἀθέων, αἱρέσεως ῥήξαντα πλοκάς, μαχαίρᾳ τοῦ Πνεύματος.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ β' χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Τοῦ Ἁγίου Ἀλεξάνδρου.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὸν θεῖον Ἀλέξανδρον, καὶ Ἱεράρχην κλεινόν, τὸν στῦλον τῆς πίστεως, τὸν ἀριστέα Χριστοῦ, ἐνδόξως τιμήσωμεν, ἅπαντες συνελθόντες, ὡς Ἀρείου τὴν λύπην, πρόῤῥιζον ἐκτεμόντα καὶ ῥητόρων ἀθέων, αἱρέσεως ῥήξαντα πλοκάς, μαχαίρᾳ τοῦ Πνεύματος.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον.

Ἦχος δ'. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι. Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ'

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπόστολος, ζήτει Νοεμβρίου ιγ'.

(Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου)

Προκείμενον. Ἦχος α'.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(κεφ. Ζ', 26-28, Η' 1-8)

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ

ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὡς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, «ἣν ἔπηξεν ὁ Κύριος», καὶ οὐκ ἄνθρωπος.

Ἀλληλούϊα. Ἦχος β´

Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Στίχ. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τὸ Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β´

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρίς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων

Καλλιτεχνικὴ ἐπιμέλεια

ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη

Ἱεροψάλτη

στὸν Ι.Ν. Ἁγίου Γεωργίου

Κουλούρας Βέροιας.